quia non vlciſcebatur contumeliam ſibi factam ab Attalo. Et Amyntas paruus à à Derda, quia iactaret ſe illius ætate abuſum eſſe. Et Eunuchus ab Euagora Cyprio. quòd enim mulier renueret eius filium, quaſi contumelia affectus eum necauit. Plurimæ verò inuaſiones factæ ſunt ex eo, quia in corpus verecundiam intuliſſent, qualis fuit inuaſio illa Cratei aduerſus Archelaum: ſemper enim moleſta illi fuerat conſuetudo eius. Itaque parua etiam occaſio ſufficiens fuit, vel quia filiarum nullam ſibi dederat, cùm ſe daturum promiſiſſet. ſed primam occupatus bello aduerſus Syrram Arabeũ tradidit regi Elimeæ: alteram verò filiam minorem natu filio Amyntæ coniugauit: exiſtimans per hunc modum minimè ſibi fore aduerſaturum ex Cleopatra genitum. ſed indignationis principium extitit, quòd grauiter ferebat ſe ad libidinis gratiã haberi. Fuit vna cum illo ad rem patrandam Hellanocrates Lariſſæus ob eandem cauſam. quod enim abuſus ætate illius non, vt promiſerat deducebat, ob contumeliam id fieri ratus eſt, non ob amorem. Paron verò & Heraclides Ænij Cotyn peremerunt, patri mactantes. Adamas verò à Coty rebellauit, quaſi contumelia affectus, quòd ab eo in pueritia exectus eſſet. Multi etiam ob verberatum corpus vel interfecerunt ira perciti, vel impetum fecerunt quaſi contumelia affecti, & contra homines in poteſtate conſtitutos, & contra reges. vt Megacles apud Mitylenem Pentalidas circumeuntes & clauis pulſantes, cum amicis aggreſſus interfecit. & poſtea Smerdes verberibus cęſus, & à muliere tractus Penthilon interimit. Archelai verò necis princeps fuit Dechamnicus. is enim primus cęteros aggreſſores commouit & irritauit. cauſa verò fuit ira, quòd illum Archelaus Euripidi poetæ verberandum tradidiſſet. erat verò infenſus illi Euripides ob maledictum in ipſius inſuauitatem oris iactatum. Et alij complures tali de cauſa vel interfecti ſunt, vel in periculum inſidiarum venerunt. Similiter quoque propter metum. hæc enim vna ex cauſis eſt, vt in republica, ſic etiam vnius in gubernatione. ceu Xerxem Artapanes metuens calumniam de Dario, quòd eum ſuſpendiſſet Xerxe non iubente, ſed putãs illi veniã eſſe datã propter cœnã, quaſi ab ignoſcente. Aliæ verò propter contemptum.

A διὰ τὸ ἐᾶσαι ὑβρισθῆναι αὐτὸν ὑπὸ τῶν περὶ Ἄτταλον. καὶ ἡ Ἀμύντου τοῦ μικροῦ ὑπὸ Δέρδα, διὰ τὸ καυχήσασθαι εἰς τὴν ἡλικίαν αὐτοῦ. καὶ ἡ τοῦ εὐνούχου Εὐαγόρα τῷ Κυπρίῳ· διὰ γὰρ τὸ τὴν γυναῖκα παρελέσθαι τὸν υἱὸν αὐτοῦ ἀπέκτεινεν, ὡς ὑβρισμένος. πολλαὶ δ' ἐπιθέσεις γεγένηνται, καὶ διὰ τὸ εἰς τὸ σῶμα αἰσχύνεσθαι τῶν μονάρχων τινάς· οἷον, καὶ ἡ B Κραταίου εἰς Ἀρχέλαον· αἰεὶ γὰρ βαρέως εἶχε πρὸς τὴν ὁμιλίαν. ὥστε ἱκανὴ καὶ ἐλάττων ἐγένετο πρόφασις, διότι τῶν θυγατέρων οὐδεμίαν ἔδωκεν ὁμολογήσας αὐτῷ· ἀλλὰ τὴν μὲν προτέραν, κατεχόμενος ὑπὸ πολέμου πρὸς Σίρραν καὶ Ἀρράβαιον, ἔδωκε τῷ βασιλεῖ τῷ τῆς Ἐλιμείας· τὴν δὲ νεωτέραν τῷ υἱεῖ Ἀμύντα, οἰόμενος οὕτως ἂν ἐκεῖνον ἥκιστα διαφέρεσθαι, καὶ τὸν ἐκ τῆς Κλεοπάτρας. ἀλ-C λὰ τῆς γε ἀλλοτριότητος ὑπῆρχεν ἀρχὴ, τὸ βαρέως φέρειν πρὸς τὴν ἀφροδισιαστικὴν χάριν. συνεπέθετο δὲ καὶ Ἑλλανοκράτης ὁ Λαρισσαῖος διὰ τὴν αὐτὴν αἰτίαν. ὡς γὰρ χρώμενος αὐτοῦ τῇ ἡλικίᾳ, οὐ κατῆγε ὑποσχόμενος, δι' ὕβριν καὶ οὐ δι' ἐρωτικὴν ἐπιθυμίαν ᾤετο εἶναι τὴν γεγενημένην ὁμιλίαν. Πάρων δὲ καὶ Ἡρακλείδης οἱ Αἴνιοι Κότυν D διέφθειραν, τῷ πατρὶ τιμωροῦντες. Ἀδάμας δ' ἀπέστη Κότυος, διὰ τὸ ἐκτμηθῆναι παῖς ὢν ὑπ' αὐτοῦ, ὡς ὑβρισμένος. πολλοὶ δὲ καὶ διὰ τὸ εἰς τὸ σῶμα αἰκισθῆναι πληγαῖς, ὀργισθέντες, οἱ μὲν διέφθειραν, οἱ δὲ ἐνεχείρησαν, ὡς ὑβρισθέντες· καὶ τῶν περὶ τὰς ἀρχὰς καὶ βασιλικὰς δυναστείας· οἷον, ἐν Μιτυλήνῃ τοὺς Πενταλίδας Μεγακλῆς περιιόντας, καὶ τύπτοντας ταῖς E κορύναις, ἐπιθέμενος μετὰ τῶν φίλων ἀνεῖλε. καὶ ὕστερον Σμέρδις Πένθιλον πληγὰς λαβὼν, καὶ παρὰ τῆς γυναικὸς ἐξελκυσθεὶς, διέφθειρε. καὶ τῆς Ἀρχελάου δ' ἐπιθέσεως Δεκάμνιχος ἡγεμὼν ἐγένετο, παροξύνων τοὺς ἐπιθεμένους πρῶτος. αἴτιον δὲ τῆς ὀργῆς, ὅτι αὐτὸν ἐξέδωκε μαστιγῶσαι Εὐριπίδῃ τῷ ποιητῇ· ὁ δ' Εὐριπίδης ἐχαλέπαινεν, εἰπόντος τι F αὐτοῦ εἰς δυσωδίαν τοῦ στόματος· καὶ ἄλλοι δὲ πολλοὶ διὰ τοιαύτας αἰτίας, οἱ μὲν ἀνῃρέθησαν, οἱ δ' ἐπεβουλεύθησαν. ὁμοίως δὲ καὶ διὰ φόβον. ἓν γάρ τι τοῦτο τῶν αἰτιῶν ἦν, ὥσπερ καὶ περὶ τὰς πολιτείας καὶ τὰς μοναρχίας· οἷον, Ξέρξην Ἀρταπάνης, φοβούμενος τὴν διαβολὴν τὴν περὶ Δαρεῖον, ὅτι ἐκρέμασεν οὐ κελεύσαντος Ξέρξου, ἀλλ' οἰόμενος συγγνώσεσθαι ὡς ἀμνημονοῦντα διὰ τὸ δειπνεῖν. αἱ δὲ, διὰ καταφρόνησιν·

ὥσπερ